καὶ δέχομαι τοὺς μεμψαμένους αὐτόν· οὕτω μὲν οὖν τότε τοὺς μονάχους ἀποκρουσάμενος, ἀπεπέμψατο· καὶ ἴσως ἂν ἡ περὶ τούτου ζήτησις ἄχρι τούτου προελθοῦσα ἐπαύσατο, εἰ μὴ ἐπισυνέβη τοῦτο ἕτερον πρᾶγμα· τῶν δὲ τῶν ἐν αἰγύπτῳ ἀσκητηρίων προεστήκεσαν τέσσαρες ἄνδρες εὐλαβεῖς· διόσκορος· ἀμμώνιος· εὐσέβιος, καὶ εὐθύμιος· οὗτοι δ' ἀδελφοὶ μὲν ἦσαν· οἱ μακροὶ δὲ διὰ τὸ τοῦ σώματος ὠνομάζοντο· ἦσαν δὲ καὶ ὡς λόγῳ ἐκπρεπεῖς· καὶ διὰ τοῦτο πολὺς ἦν ἐν τῇ ἀλεξανδρείᾳ ὁ περὶ αὐτῶν λόγος· θεόφιλος τε ὁ ἀλεξανδρείας ἐπίσκοπος, παρ' ὑπέρ τινα ἐτίμα τοὺς ἄνδρας· διὸ καὶ ἕνα μὲν αὐτῶν τὸν διόσκορον ἐπίσκοπον καθίστησιν ἑρμουπόλεως βίᾳ ἑλκύσας· δύο δὲ ἐξ αὐτῶν παρεκάλεσε συνεῖναι αὐτῷ· καὶ μόλις μὲν ἔπεισεν· ὡς ἐπίσκοπος ὅμως καὶ προσηνάγκασε· καὶ τῷ τοῦ κληρικοῦ ἀξιώματι τιμήσας, τὴν οἰκονομίαν τῆς ἐκκλησίας αὐτοῖς ἐνεχείρισεν· οἱ δὲ τῇ ἀνάγκῃ μὲν ἐν μένον καὶ τῆς οἰκονομίας προσεῖχον ἀμέμπτως· ὅτι μὴν ἐφιλοσόφουν ὡς ἤθελον τῇ ἀσκήσει προσκείμενοι· ἐπειδὴ δὲ προϊόντος τοῦ χρόνου καὶ παραβλάπτεσθαι τὰς ψυχὰς ἐνόμιζον, ὁρῶντες τὸν ἐπίσκοπον χρηματιστικώτερον ἐρχόμενον· καὶ πολλὴν σπουδὴν περὶ χρημάτων κτῆσιν τιθέμενον· καὶ διὰ ταῦτα τὸ δὴ λεγόμενον παντὶ λίθον κινοῦντα· παραιτοῦνται τὸ τέως συνεῖναι αὐτῷ, τὴν ἐρημίαν ἀγαπᾶν εἰπόντες· καὶ ταύτην προτιμᾶν τῆς ἐν ἄστει διατριβῆς· ὁ δὲ ἕως μὲν μὴ ἐγίνωσκε τὴν ἀληθῆ πρόφασιν, παρεκάλει προσμένειν· ἐπεὶ δὲ ἔγνω καταγινωσκόμενος ὑπ' αὐτῶν, ὀργῆς ὑποπίμπλαται· καὶ πᾶν αὐτοῖς κακὸν ἠπείλει ποιεῖν· τῶν δὲ μικρὰ φροντισάντων τῆς ἀπειλῆς καὶ εἰς τὴν ἔρημον χωρησάντων· θερμὸς τε ὢν ἔοικεν ὁ θεόφιλος, ὡς οὐ μικρὰν ἐποιεῖτο τὴν κίνησιν κατ' αὐτῶν· ἀλλὰ σκαιωρεῖσθαι πάσῃ μηχανῇ τοὺς ἄνδρας ἐσπούδαζεν· ἐμίσει δὲ εὐθὺς καὶ τὸν αὐτῶν ἀδελφὸν διόσκορον τὸν ἑρμουπόλεως ἐπίσκοπον· ἐλύπει δὲ αὐτὸν ἱκανῶς καὶ τὸ προσκεῖσθαι αὐτῷ τοὺς ἀσκητὰς καὶ περὶ αὐτὸν σέβας ἔχειν πολύ· ἐγίνωσκε δὲ ὡς οὐδὲν ἰσχύσει τὸ προσπολεμεῖν τοῖς ἄνδρας εἰ μὴ τοὺς μοναχοὺς ἐκπολεμώσειεν αὐτοῖς· μαθὼν οὖν ὡς οὐχ ἕν ἐστι τοιαύτη· εὖ ἠπίστατο τοὺς ἄνδρας πολλάκις ἀμμώνιον αὐτῷ περὶ θεοῦ λόγους κεκινηκότας, ὡς εἴη ὁ θεὸς ἀσώματος καὶ οὐδαμῶς ἀνθρωπόμορφος· ἀκολουθεῖ γὰρ ἐξ ἀνάγκης τῷ ἀνθρωπομόρφῳ, τὸ ἀνθρωποπαθές· καὶ τοῦτο γεγυμνάσθαι παρὰ τῶν παλαιοτέρων καὶ μάλιστα παρὰ ὠριγένει· οὕτως ἔχων καὶ φρονῶν περὶ θεοῦ ὁ θεόφιλος, διὰ τὸ ἀμύνασθαι τοὺς ἐχθροὺς, ἀντιστρέφει τὰ καλῶς αὐτῷ δεδογματισμένα· οὐκ ὤκνησεν, ἀλλὰ συναρπάζει τοὺς πλείους τῶν μοναχῶν ἀπλοῦς ἀκεραίους μέν, ἰδιώτας δὲ τῷ λόγῳ· τοὺς πολλοὺς δὲ ἀγραμμάτους ὄντας· καὶ διαπέμπει τοῖς ἐν ἐρήμῳ ἀσκητηρίοις μὴ δεῖν πείθεσθαι διοσκόρῳ μήτε τοῖς ἀδελφοῖς αὐτοῦ, λέγουσιν ἀσώματον τὸν θεὸν· ὁ γὰρ